# Colossians

## Πρὸς Κολοσσαεῖς

1 Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ
καὶ Τιμόθεος ὁ ἀδελφὸς
2 τοῖς [Emb] ἐν Κολοσσαῖς [Emb] ἁγίοις καὶ [Emb] πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ,
χάρις ὑμῖν [Split] καὶ εἰρήνη [Split] ἀπὸ θεοῦ πατρὸς ἡμῶν.
3 Εὐχαριστοῦμεν τῷ θεῷ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
πάντοτε περὶ ὑμῶν προσευχόμενοι,
4 ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ
καὶ τὴν ἀγάπην
ἣν ἔχετε εἰς πάντας τοὺς ἁγίους
5 διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς,
ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου
6 τοῦ παρόντος εἰς ὑμᾶς,
καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ ἐστὶν καρποφορούμενον καὶ αὐξανόμενον
καθὼς καὶ ἐν ὑμῖν,
ἀφ’ ἧς ἡμέρας ἠκούσατε
καὶ ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ·
7 καθὼς ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν,
ὅς ἐστιν [* Emb] πιστὸς ὑπὲρ ὑμῶν διάκονος [*] τοῦ Χριστοῦ,
8 [App] ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. [App]
9 [Th+] Διὰ τοῦτο [Th+] [Top] καὶ ἡμεῖς, [Top] [Sit] ἀφ’ ἧς ἡμέρας ἠκούσαμεν, [Sit]
οὐ παυόμεθα
ὑπὲρ ὑμῶν προσευχόμενοι
καὶ αἰτούμενοι,
ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ
ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ,
10 περιπατῆσαι ἀξίως τοῦ κυρίου εἰς πᾶσαν ἀρεσκείαν,
ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες
καὶ αὐξανόμενοι τῇ ἐπιγνώσει τοῦ θεοῦ,
11 ἐν πάσῃ δυνάμει δυναμούμενοι
κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ
εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν.
μετὰ χαρᾶς 12 εὐχαριστοῦντες τῷ πατρὶ
τῷ ἱκανώσαντι ὑμᾶς
εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί·
13 ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους
καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ,
14 ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, [App] τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· [App]
15 ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου,
[App] πρωτότοκος πάσης κτίσεως, [App]
16 ὅτι [Top] ἐν αὐτῷ [Top] ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς,
[App] τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, [App]
[* L-Dis] εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι· [* L-Dis]
[Top] τὰ πάντα [Top] δι’ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται·
17 καὶ [Top] αὐτός ἐστιν πρὸ πάντων
καὶ [Top] τὰ πάντα [Top] ἐν αὐτῷ συνέστηκεν,
18 καὶ [Top] αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας·
ὅς ἐστιν ἀρχή, [App] πρωτότοκος ἐκ τῶν νεκρῶν, [App]
ἵνα γένηται
ἐν πᾶσιν αὐτὸς πρωτεύων,
19 ὅτι [Top] ἐν αὐτῷ [Top] εὐδόκησεν πᾶν τὸ πλήρωμα

5 κατοικῆσαι
4 **20** καὶ Top δι’ αὐτοῦ Top ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν,
5 εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, [δι’ αὐτοῦ]
6 R-Dis εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. R-Dis
**21** Καὶ Top ὑμᾶς Sit ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς,
**22** Sit νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου
3 παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ,
3 **23** εἴ γε ἐπιμένετε τῇ πίστει
4 τεθεμελιωμένοι καὶ ἑδραῖοι
4 καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε,
5 τοῦ κηρυχθέντος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν,
5 οὗ ἐγενόμην Th+ ἐγὼ Παῦλος Th+ διάκονος.
**24** Sit Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν
2 καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ,
3 ὅ ἐστιν ἡ ἐκκλησία,
2 **25** ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς
3 πληρῶσαι τὸν λόγον τοῦ θεοῦ,
4 **26** App τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν— App
Sit νῦν δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ,
2 **27** οἷς ἠθέλησεν ὁ θεὸς
3 γνωρίσαι
4 τί τὸ πλοῦτος τῆς δόξης Th+ τοῦ μυστηρίου τούτου Th+ ἐν τοῖς ἔθνεσιν,
5 ὅ ἐστιν Χριστὸς ἐν ὑμῖν, R-Dis ἡ ἐλπὶς τῆς δόξης· R-Dis
**28** ὃν Top ἡμεῖς καταγγέλλομεν
3 νουθετοῦντες πάντα ἄνθρωπον
3 καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ,
4 ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ·
2 **29** εἰς ὃ καὶ κοπιῶ
3 ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν
4 αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.
2 **2** Θέλω γὰρ ὑμᾶς
3 εἰδέναι
4 ἡλίκον ἀγῶνα ἔχω ὑπὲρ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ
5 καὶ ὅσοι οὐχ ἑόρακαν τὸ πρόσωπόν μου ἐν σαρκί,
3 **2** ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν
4 συμβιβασθέντες ἐν ἀγάπῃ
5 καὶ εἰς πᾶν πλοῦτος τῆς πληροφορίας τῆς συνέσεως,
4 εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ, R-Dis Χριστοῦ,
2 **3** ἐν ᾧ εἰσιν Emb πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως Emb ἀπόκρυφοι.
**4** Top+ Τοῦτο λέγω,
3 ἵνα Constit μηδεὶς ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ.
**5** Sit εἰ γὰρ Emb Sit καὶ τῇ σαρκὶ Emb ἄπειμι, Sit
ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι,
3 χαίρων καὶ βλέπων TopGen ὑμῶν τὴν τάξιν
4 καὶ τὸ στερέωμα τῆς Emb εἰς Χριστὸν Emb πίστεως ὑμῶν.
**6** Sit Ὡς οὖν Sit παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν κύριον, Sit
ἐν αὐτῷ περιπατεῖτε,
3 **7** ἐρριζωμένοι
3 καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ
3 καὶ βεβαιούμενοι τῇ πίστει
4 καθὼς ἐδιδάχθητε,

3 περισσεύοντες ἐν εὐχαριστίᾳ.
2 **8** βλέπετε
3 μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν
4 διὰ τῆς φιλοσοφίας καὶ Emb κενῆς ἀπάτης
4 κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων,
4 κατὰ τὰ στοιχεῖα τοῦ κόσμου
4 καὶ οὐ κατὰ Χριστόν·
3 **9** ὅτι Top ἐν αὐτῷ Top κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,
2 **10** καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι,
2 ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας.
2 **11** ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ
4 ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός,
4 ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ,
3 **12** συνταφέντες αὐτῷ ἐν τῷ βαπτισμῷ,
2 ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ θεοῦ
3 τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν·
**13** καὶ Top ὑμᾶς νεκροὺς ὄντας [ἐν] τοῖς παραπτώμασιν
3 καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν,
2 συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ,
3 χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα.
2 **14** ἐξαλείψας τὸ Emb καθ’ ἡμῶν Emb χειρόγραφον τοῖς δόγμασιν
2 ὃ ἦν ὑπεναντίον ἡμῖν,
καὶ Top αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου
3 προσηλώσας αὐτὸ τῷ σταυρῷ·
**15** ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας
2 ἐδειγμάτισεν ἐν παρρησίᾳ,
3 θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.
**16** Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει καὶ ἐν πόσει
3 ἢ ἐν μέρει ἑορτῆς ἢ νεομηνίας ἢ σαββάτων·
2 **17** ἅ ἐστιν σκιὰ τῶν μελλόντων,
Top τὸ δὲ Top σῶμα τοῦ Χριστοῦ.
**18** Constit μηδεὶς ὑμᾶς καταβραβευέτω
3 θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων,
5 ἃ ἑόρακεν ἐμβατεύων,
3 εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ,
3 **19** καὶ οὐ κρατῶν τὴν κεφαλήν,
ἐξ οὗ Top πᾶν τὸ σῶμα Top
* διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον *
2 αὔξει τὴν αὔξησιν τοῦ θεοῦ.
**20** Sit Εἰ ἀπεθάνετε σὺν Χριστῷ Emb ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, Emb Sit
τί Emb ὡς ζῶντες ἐν κόσμῳ Emb δογματίζεσθε;
2 **21** Μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς,
2 **22** ἅ ἐστιν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει,
3 κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων,
2 **23** ἅτινά ἐστιν
3 Emb λόγον μὲν ἔχοντα Split σοφίας
5 ἐν ἐθελοθρησκίᾳ καὶ ταπεινοφροσύνῃ [καὶ] ἀφειδίᾳ σώματος,
3 οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.
**3** Sit Εἰ οὖν Sit συνηγέρθητε τῷ Χριστῷ, Sit
τὰ ἄνω ζητεῖτε,
3 οὗ Top ὁ Χριστός Top ἐστιν
4 ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος·
**2** τὰ ἄνω φρονεῖτε, Split μὴ τὰ ἐπὶ τῆς γῆς. Split
2 **3** ἀπεθάνετε γὰρ

καὶ Top ἡ ζωὴ ὑμῶν Top κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ·
4 Sit ὅταν ὁ Χριστὸς φανερωθῇ, Sit R-Dis ἡ ζωὴ ὑμῶν, R-Dis
τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.
2 5 Νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς,
3 App πορνείαν ἀκαθαρσίαν πάθος ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν,
4 ἥτις ἐστὶν εἰδωλολατρία, App
2 6 δι᾿ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ [ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας].
7 ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε,
3 ὅτε ἐζῆτε Th+ ἐν τούτοις· Th+
8 Sit νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα,
3 App ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν· App
2 9 μὴ ψεύδεσθε εἰς ἀλλήλους,
3 ἀπεκδυσάμενοι τὸν Emb παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ
3 10 καὶ ἐνδυσάμενοι τὸν νέον
4 App τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾿ εἰκόνα τοῦ κτίσαντος αὐτόν, App
3 11 ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία,
4 βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος,
4 ἀλλὰ [τὰ] πάντα καὶ ἐν πᾶσιν Χριστός.
2 12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι,
4 σπλάγχνα οἰκτιρμοῦ χρηστότητα
4 ταπεινοφροσύνην πραΰτητα μακροθυμίαν,
3 13 ἀνεχόμενοι ἀλλήλων
3 καὶ χαριζόμενοι ἑαυτοῖς
4 ἐάν Top τις * πρός τινα * ἔχῃ μομφήν·
L-Dis καθὼς Emb καὶ ὁ κύριος Emb ἐχαρίσατο ὑμῖν, L-Dis
Sit οὕτως καὶ ὑμεῖς·
14 Sit ἐπὶ πᾶσιν Sit δὲ Sit Th+ τούτοις τὴν ἀγάπην,
2 ὅ ἐστιν σύνδεσμος τῆς τελειότητος.
15 καὶ Top ἡ εἰρήνη τοῦ Χριστοῦ Top βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν,
2 εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι·
καὶ εὐχάριστοι γίνεσθε.
16 Top ὁ λόγος τοῦ Χριστοῦ Top ἐνοικείτω ἐν ὑμῖν πλουσίως,
3 ἐν πάσῃ σοφίᾳ διδάσκοντες
3 καὶ νουθετοῦντες ἑαυτούς,
3 ψαλμοῖς ὕμνοις ᾠδαῖς πνευματικαῖς
4 * ἐν [τῇ] χάριτι * ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ θεῷ·
17 καὶ L-Dis πᾶν ὅ τι ἐὰν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, L-Dis
πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ,
3 εὐχαριστοῦντες τῷ θεῷ πατρὶ δι᾿ αὐτοῦ.
18 Top Αἱ γυναῖκες, Top ὑποτάσσεσθε τοῖς ἀνδράσιν
3 ὡς ἀνῆκεν ἐν κυρίῳ.
19 Top Οἱ ἄνδρες, Top ἀγαπᾶτε τὰς γυναῖκας
2 καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.
20 Top Τὰ τέκνα, Top ὑπακούετε τοῖς γονεῦσιν κατὰ πάντα,
Top+ τοῦτο γὰρ εὐάρεστόν ἐστιν ἐν κυρίῳ.
21 Top Οἱ πατέρες, Top μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν,
3 ἵνα μὴ ἀθυμῶσιν.
22 Top Οἱ δοῦλοι, Top ὑπακούετε κατὰ πάντα τοῖς Emb κατὰ σάρκα Emb κυρίοις,
3 μὴ ἐν ὀφθαλμοδουλίᾳ ὡς ἀνθρωπάρεσκοι,
3 ἀλλ᾿ ἐν ἁπλότητι καρδίας
4 φοβούμενοι τὸν κύριον.
23 Top ὃ ἐὰν ποιῆτε, Top ἐκ ψυχῆς ἐργάζεσθε
4 ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις,
2 24 εἰδότες

3 ὅτι ἀπὸ κυρίου ἀπολήμψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας.
τῷ κυρίῳ Χριστῷ δουλεύετε·
**25** [Top] ὁ γὰρ [Top] ἀδικῶν κομίσεται ὃ ἠδίκησεν,
2 καὶ οὐκ ἔστιν προσωπολημψία.
**4** [Top] Οἱ κύριοι, [Top] τὸ δίκαιον καὶ τὴν ἰσότητα
4 τοῖς δούλοις παρέχεσθε,
3 εἰδότες
4 ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ.
**2** Τῇ προσευχῇ προσκαρτερεῖτε,
3 γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ,
3 **3** προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν,
4 ἵνα [Top] ὁ θεὸς [Top] ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου
5 λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ,
6 δι’ ὃ καὶ δέδεμαι,
4 **4** ἵνα φανερώσω αὐτὸ
5 ὡς δεῖ με λαλῆσαι.
**5** Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω
3 τὸν καιρὸν ἐξαγοραζόμενοι.
**6** [Top] ὁ λόγος ὑμῶν [Top] πάντοτε ἐν χάριτι,
3 ἅλατι ἠρτυμένος,
4 εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ [Emb] ἀποκρίνεσθαι.
**7** * Τὰ κατ’ ἐμὲ πάντα * γνωρίσει ὑμῖν Τύχικος [App] ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος
καὶ σύνδουλος ἐν κυρίῳ, [App]
2 **8** ὃν ἔπεμψα πρὸς ὑμᾶς [Th+] εἰς αὐτὸ τοῦτο, [Th+]
4 ἵνα γνῶτε τὰ περὶ ἡμῶν
4 καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν,
3 **9** σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ,
4 ὅς ἐστιν ἐξ ὑμῶν·
πάντα ὑμῖν γνωρίσουσιν [Split] τὰ ὧδε. [Split]
2 **10** Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου
3 καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρναβᾶ
4 (περὶ οὗ ἐλάβετε ἐντολάς,
[Sit] ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, [Sit]
2 δέξασθε αὐτόν)
3 **11** καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος,
[L-Dis] οἱ ὄντες ἐκ περιτομῆς, [L-Dis]
[Top+] οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ,
2 οἵτινες ἐγενήθησάν μοι παρηγορία.
2 **12** ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς [App] ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ [Ἰησοῦ], [App]
3 πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς,
4 ἵνα σταθῆτε τέλειοι
5 καὶ πεπληροφορημένοι ἐν παντὶ θελήματι τοῦ θεοῦ.
2 **13** μαρτυρῶ γὰρ αὐτῷ
3 ὅτι ἔχει πολὺν πόνον ὑπὲρ ὑμῶν
4 καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν Ἱεραπόλει.
2 **14** ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς.
2 **15** Ἀσπάσασθε τοὺς [Emb] ἐν Λαοδικείᾳ [Emb] ἀδελφοὺς
3 καὶ Νύμφαν καὶ τὴν [Emb] κατ’ οἶκον αὐτῆς [Emb] ἐκκλησίαν.
**16** καὶ [Sit] ὅταν ἀναγνωσθῇ παρ’ ὑμῖν ἡ ἐπιστολή, [Sit]
2 ποιήσατε
3 ἵνα καὶ ἐν τῇ [Emb] Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ,
καὶ [Top] τὴν ἐκ Λαοδικείας [Top]
3 ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.
2 **17** καὶ εἴπατε Ἀρχίππῳ,

2 Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν κυρίῳ,
3 ἵνα αὐτὴν πληροῖς.
18 Ὁ ἀσπασμὸς τῇ Emb ἐμῇ χειρὶ R-Dis Παύλου.
2 μνημονεύετέ TopGen μου τῶν δεσμῶν.
ἡ χάρις μεθ’ ὑμῶν.